## ἙΡΜΗΝΕΙΑ.

Εἰ δὲ λέγεις, τὴν ὕλην μὲν εἶναι, τὴν μορφὴν δὲ τὸν Θεὸν ἐπιθεῖναι, τί διοίσει τοῦ κεραμέως ὁ ἐπὶ πάντων Θεός; καὶ γὰρ καὶ ὁ κεραμεὺς στρέφων τὸν κύκλον αὐτοῦ, εἶδος ἐντίθησι τῷ πηλῷ, καὶ ὁ χρυσοχόος τῷ χρυσῷ, καὶ ὁ λιθοξόος τοῖς ξοάνοις αὐτοῦ. Δός τι πλέον τῆς ἡμετέρας φρενὸς τῷ Θεῷ, ὦ φιλάναρχε σύ, καὶ πολλὰς ὑμῖν ἀρχὰς ἐπινοῶν. Τὸ πλέον δὲ ἡ ὕλη ἐστὶ σὺν ταῖς διαφόροις μορφαῖς. Ἐκινήθη ἡ θεία νόησις ἡ τῶν ὄντων πάντων αἰτία ἡ πολυδύναμος, καὶ ταῦτα πάντα ἐγένοντο. Οὐ γὰρ ἄξιον, οὐδὲ πρέπον οὕτω δημιουργεῖν τὸν Θεόν, καθάπερ τινὰ ζωγράφον βλέποντα, ἃ μὴ ὁ νοῦς αὐτοῦ μόνος ἠδύνατο βλέπειν, καὶ οὕτω γράφοντα ἀφ' ἑτέρου εἴδους ἕτερον εἶδος ὅμοιον.

# ΚΕΙΜΕΝΟΝ.

Καὶ σὺ Μανιχαίοιο κακὸν σκότος, οὐ πάρος ἦες
Ἀκρηλάτιο φάους ἀντίθρονον. Εἰ Θεὸς ἦεν,
Οὐ σκότος. Οὐ γὰρ ἔοικε Θεῷ κακὸν ἀντιφερίζειν.
Εἰ σκότος, οὐ Θεὸν οἶδας. Ὁμοφρονέειν μὲν ἄκοσμον.
Μαρναμένων δὲ τὸ κάρτος ἀρείονος. Ἰσοπαλεῖς δὲ
Τίς τρίτος εἰς ἓν ἄγων σοφίῃ καὶ νείκεα λύων;
Καὶ τόδε θαῦμα μέγιστον, ἐπεὶ, μόθον αἰνὸν ἐγείρας,
Αὖθις ὁμοφρονέοντα τιθεὶς, ἐπελήσαο χάρμης.

## ἙΡΜΗΝΕΙΑ.

Καὶ σὺ δὲ, ὦ κακὸν σκότος, τοῦ Μανιχαίου τὸ εὕρεμα, οὐχ ὑπῆρχες ἀντίθρονον καὶ ἰσόθρονον ἢ ἀντικείμενον τῷ Θεῷ, οὐδὲ συνῆς ἀνάρχως τῷ ἀκρηλάτῳ φωτί. Εἰ γὰρ Θεὸς ἦν, οὐκ ἦν σκότος. Οὐ γὰρ δυνατὸν οὐδ' ἐνδέχεται κακόν τι ἐξισοῦσθαι Θεῷ. Εἰ σκότος ἦν, οὐδεὶς γινώσκει τὸ σκότος Θεόν. Ὁμοφρονεῖν μὲν γὰρ τὸ σκότος τῷ φωτὶ τοῦ θεοῦ, ἄτοπόν τε καὶ ἄκοσμον. Μαχομένων δὲ, τοῦ σκότους δῆλον καὶ τοῦ φωτὸς, πάντως τὸ κράτος ἔσται τοῦ κρείττονος. Εἰ δὲ ἰσοδυνάμους εἶναι λέγεις τὸν θεὸν καὶ τὸ σκότος, ἔσται τὶς τρίτος, εἰς ἓν ἄγων καὶ εἰρηνεύων τοὺς ἰσοδυνάμους καὶ ἀντιπάλους, καὶ διαλύων τὴν μάχην αὐτῶν;



Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/ppn324896379/5
gefördert von der Deutschen Forschungsgemeinschaft DFG